Θηβαίων κατηγοροῦντας ‘οὗτοι μέντοι’ εἶπεν ‘ὑμᾶς βραχυλογοῦντας ἔπαυσαν.’

17. Ἐπεὶ δ’ Ἀλέξανδρον τὸν Φεραίων τύραννον πολέμιον ὄντα Θηβαίων Ἀθηναῖοι φίλον ἐποιήσαντο καὶ σύμμαχον ὑποσχόμενον αὐτοῖς ἡμιωβολίου τὴν μνᾶν κρεῶν ὤνιον παρέξειν, ‘ἡμεῖς δέ’ ἔφη ὁ Ἐπαμεινώνδας ‘ξύλα προῖκα παρέξομεν Ἀθηναίοις ἐπὶ τὰ κρέα ταῦτα· τὴν γὰρ E χώραν αὐτῶν τεμοῦμεν, ἂν πολυπραγμονῶσι.’

18. Τοὺς δὲ Βοιωτοὺς ὑπὸ σχολῆς ἐκλυομένους ἀεὶ βουλόμενος ἐν τοῖς ὅπλοις συνέχειν, ὁπότε βοιωτάρχης αἱρεθείη, παραινῶν ἔλεγεν ‘ἔτι βουλεύσασθε, ὦ ἄνδρες· ἐὰν γὰρ ἐγὼ στρατηγῶ, στρατευτέον ἐστὶν ὑμῖν·’ καὶ τὴν χώραν ὑπτίαν οὖσαν καὶ ἀναπεπταμένην ‘πολέμου ὀρχήστραν’ προσηγόρευεν, ὡς μὴ δυναμένους κρατεῖν αὐτῆς, ἂν μὴ τὴν χεῖρα διὰ πόρπακος ἔχωσι.

19. Τοῦ δὲ Χαβρίου περὶ Κόρινθον ὀλίγους τινὰς τῶν Θηβαίων ὑπὸ τὰ τείχη φιλομαχοῦντας καταβαλόντος καὶ στήσαντος τρόπαιον, ὁ Ἐπαμεινώνδας καταγελῶν ἔφη F ‘ἐνταῦθα δεῖ οὐ τρόπαιον ἀλλὰ Ἑκατήσιον ἑστάναι·’ τὴν γὰρ Ἑκάτην ἐπιεικῶς ἐν ταῖς πρὸ τῶν πυλῶν ἱδρύοντο τριόδοις.

20. Ἀπαγγείλαντος δέ τινος ὡς Ἀθηναῖοι στράτευμα καινοῖς κεκοσμημένον ὅπλοις εἰς Πελοπόννησον ἀπεστάλκασι, ‘τί οὖν;’ εἶπεν ‘Ἀντιγενίδας στένει καινοὺς Τελλῆνος αὐλοὺς ἔχοντος;’ ἦν δ’ αὐλητὴς ὁ μὲν Τελλὴν κάκιστος, ὁ δ’ Ἀντιγενίδας κάλλιστος.